## ΑΝΑΞΙΛΑΣ

Ἀναξίλας πρὸς τὸν θαυμάζοντα διὰ τί οἱ ἔφοροι τοῖς
C βασιλεῦσιν οὐχ ὑπεξανίστανται, καὶ ταῦτα ὑπὸ τῶν βασιλέων καθισταμένοι, 'διὰ τὴν αὐτὴν αἰτίαν' ἔφη 'δι' ἣν καὶ ἐφορεύουσιν.'

## ΑΝΔΡΟΚΛΕΙΔΑΣ

Ἀνδροκλείδας ὁ Λάκων πηρωθεὶς τὸ σκέλος κατέταξεν αὑτὸν εἰς τοὺς πολεμιστάς· ὡς δ' ἐνίσταντό τινες διακωλύοντες ὅτι ἐπεπήρωτο, 'ἀλλ' οὐ φεύγοντα' εἶπε 'μένοντα δὲ δεῖ τοῖς ἀντιτεταγμένοις μάχεσθαι.'

## ΑΝΤΑΛΚΙΔΑΣ

1. Ἀνταλκίδας ἐν Σαμοθρᾴκῃ μυούμενος, ἐρωτηθεὶς ὑπὸ τοῦ ἱερέως τί δεινότερον δέδρακεν ἐν τῷ βίῳ, 'εἴ τί μοι πέπρακται τοιοῦτον, εἴσονται' εἶπεν 'αὐτοὶ οἱ θεοί.'

D 2. Πρὸς δὲ τὸν ἀμαθεῖς καλοῦντα τοὺς Λακεδαιμονίους Ἀθηναῖον 'μόνοι γοῦν' εἶπεν 'ἡμεῖς οὐδὲν μεμαθήκαμεν παρ' ὑμῶν κακόν.'

3. Ἑτέρου δ' Ἀθηναίου πρὸς αὐτὸν εἰπόντος 'ἀλλὰ μὴν ἡμεῖς ἀπὸ τοῦ Κηφισοῦ πολλάκις ὑμᾶς ἐδιώξαμεν', 'ἡμεῖς δέ' ἔφη 'οὐδέποτε ὑμᾶς ἀπὸ τοῦ Εὐρώτα.'

4. Ἐρωτηθεὶς δὲ πῶς ἂν τις μάλιστα ἀρέσκοι τοῖς ἀνθρώποις, 'εἰ ἥδιστα μέν' ἔφη 'αὐτοῖς διαλέγοιτο, ὠφελιμώτατα δὲ προσφέροιτο.'

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403549256/145 UNIVERSITÄT LEIPZIG